17 Σεπτεμβρίου 2014

# Ευχή εις την Υπεραγίαν Θεοτόκον

/ Θεολογία και Ζωή / Ορθόδοξη πίστη

Image not found or type unknown




Αγίου Γρηγορίου του Παλαμά

Παρθένε Δέσποινα Θεοτόκε, η τόν Θεόν Λόγον κατά σάρκα γεννήσασα, οίδα μένοίδα, ότι ουκ έστιν ευπρεπές, ουδέ άξιον εμέ τόν ούτω πανάσωτον, εικόνακαθοράν σου τής αγνής, σου τής αειπαρθένου, σου τής σώμα και ψυχήν εχούσηςκαθαρά και αμόλυντα, οφθαλμοίς μεμολυσμένοις οράν και χείλεσιν ακαθάρτοιςκαί βεβήλοις περιπτύσσεσθαι η παρακαλείν. Δίκαιον γάρ εστιν εμέ τόν άσωτονμισείσθαι και στυγείσθαι υπό τής σής καθαρότητος. Πλήν επειδή περ γέγονεν οΘεός, όν εγέννησας, άνθρωπος, όπως καλέση τούς αμαρτωλούς εις μετάνοιαν,θαρρών καγώ προσέρχομαί σοι, μετά δακρύων δεόμενος.
Δέξαι μου τήν παρούσαν τών πολλών και χαλεπών πταισμάτων εξαγόρευσιν καίπροσάγαγε τω μονογενεί σου Υιώ και Θεώ, ικετηρίαν ποιούσα, όπως γένηταιίλεως τη αθλία μου και ταλαιπώρω ψυχή.
Δια γάρ το πλήθος τών ανομιών μου κωλύομαι πρός αυτόν ατενίσαι και αιτήσαισυγχώρησιν• δια τούτο σε προβάλλομαι πρέσβυν και μεσίτην.

Ότι πολλών απολαύσας και μεγάλων δωρεών παρά του πλαστουργήσαντός μεΘεού, αμνήμων τε πασών φανείς ο άθλιος και αχάριστος, εικότωςπαρασυνεβλήθην τοίς κτήνεσι τοίς ανοήτοις και ωμοιώθην αυτοίς• πτωχεύων ταίςαρεταίς, πλουτών τοίς πάθεσι, αισχύνης πεπληρωμένος, παρρησίας θείαςεστερημένος,
κατακεκριμένος υπό Θεού,
θρηνούμενος υπό Αγγέλων,
γελώμενος υπό δαιμόνων και μισούμενος παρά ανθρώπων,
ελεγχόμενος υπο του συνειδότος, υπό τών πονηρών μου καταισχυνόμενος έργών•
και προ θανάτου νεκρός υπάρχων και
προ τής κρίσεως αυτοκατάκριτος ών και προ τής ατελευτήτου κολάσεωςαυτοτιμώρητος τυγχάνων υπό τής απογνώσεως.
Δι ὅ δη εις τήν σήν και μόνην καταφεύγω αντίληψιν, Δέσποινα Θεοτόκε,
ο τών μυρίων ταλάντων οφειλέτης,
ο ασώτως μετά πορνών τήν πατρικήν δαπανήσας ουσίαν,
ο πορνεύσας υπέρ τήν πόρνην,
ο παρανομήσας υπέρ τόν Μανασσήν,
ο υπέρ τόν πλούσιον άσπλαγχνος γεγονώς,
ο λαίμαργος δούλος,
το τών πονηρών λογισμών δοχείον,
ο τών αισχρών και ρυπαρών λόγων θησαυροφύλαξ,
ο πάσης αγαθής εργασίας αλλότριος.
Ελέησόν μου τήν ταπείνωσιν, οικτίρησόν μου τήν ασθένειαν• μεγάλην έχεις τήνπαρρησίαν πρός τόν εκ σου τεχθέντα• ουδείς δύναται, ως συ, Μήτερ Θεού. Πάνταγάρ ισχύεις, ως πάντων υπερέχουσα τών κτισμάτων και ουδέν σοι αδύνατον, εάνθελήσης μόνον. Μη ούν παρίδης μου τα δάκρυα, μη βδελύξη μου τόν

στεναγμόν,μη απώση μου τόν εκ καρδίας πόνον, μη καταισχύνης μου τήν εις σε προσδοκίαν•αλλά, ταίς μητρικαίς σου δεήσεσι, τήν του αγαθού Υιού σου και Θεού αβίαστονβιασαμένη ευσπλαγχνίαν, αξίωσόν με τόν ταλαίπωρον και ανάξιον δούλόν σου,το πρώτον και αρχαίόν μου απολαβείν κάλλος και τήν τών παθών αποθέσθαιαμορφίαν, ελευθερωθήναι από τής αμαρτίας, δουλωθήναι δε τη δικαιοσύνη,εκδύσασθαι τόν μιασμόν τής σαρκικής ηδονής, και ενδύσασθαι τόν αγιασμόν τήςψυχικής καθαρότητος, νεκρωθήναι τω κόσμω και ζήσαι τη αρετή.

Οδοιπορούντί μοι, συνόδευσον•
εν θαλάσση πλέοντι, σύμπλευσον•
αγρυπνούντά με, ενίσχυσον•
θλιβόμενον, παραμύθησον•
ολιγοψυχούντα, παρακάλεσον•
ασθενούνι, ίασίν μοι δώρησαι•
αδικούμενον, ρύσαί με•
συκοφαντούμενον, αθώωσον•
εις θάνατον κινδυνεύοντα, συντόμως προφθάσασα λύτρωσαι•
τοίς αοράτοις εχθροίς καθ ἑκάστην φοβερόν δείξόν με, ίνα γνώσι πάντες οιαδίκως τυραννούντες, τίνος δούλος υπάρχω.
Ναι, υπεράγαθε Δέσποινα Θεοτόκε, επάκουσον τής οικτράς μου δεήσεως και μήκαταισχύνης με από τής προσδοκίας μου, η μετά Θεόν ελπίς πάντων τώνπεράτων τής γης.
Τόν βρασμόν τής σαρκός μου κατάσβεσον,
τόν εν τη ψυχή μου αγριώτατον κλύδωνα κατεύνασον,
τόν πικρόν θυμόν καταπράϋνον,
τόν τύφον και τήν αλαζονίαν τής ματαίας οιήσεως εκ του νοός μου αφάνισον,
τάς νυκτερινάς φαντασίας τών πονηρών πνευμάτων και τάς μεθημερινάς τώνακαθάρτων εννοιών προσβολάς, εκ τής καρδίας μου μείωσον•
παίδευσόν μου τήν γλώσσαν λαλείν τα συμφέροντα,
δίδαξόν μου τούς οφθαλμούς βλέπειν ορθώς τής αρετής τήν ευθύτητα•
τούς πόδας μου τρέχειν ανυποσκελίστως ποίησον τήν μακαρίαν οδόν τών τούΘεού εντολών•
τάς χείράς μου αγιασθήναι παρασκεύασον, ίνα αξίως αίρω αυτάς πρός τόνύψιστον•
κάθαρόν μου το στόμα, ίνα μετά παρρησίας επικαλήται Πατέρα, τόν φοβερόνΘεόν και Πανάγιον•
άνοιξόν μου τα ώτα, ίνα ακούω αισθητώς και νοητώς τα υπέρ μέλι και κηρίονγλυκύτερα τών αγίων Γραφών λόγια και βιώ κατ αὐτά, υπό σου κραταιούμενος.
Δός μοι καιρόν μετανοίας, λογισμόν επιστροφής, αιφνιδίου θανάτου μεελευθέρωσον, κατακεκριμένον υπό του συνειδότος με απάλλαξον. Και

τελευταίονπαράστηθί μοι εν τω χωρισμώ τής ψυχής από του αθλίου μου σώματος, τήναφόρητον εκείνην ελαφρύνουσα βίαν, τόν ανέκφραστον κουφίζουσα πόνον, τήναπαραμύθητον παρηγορούσα στενοχωρίαν, τής σκοτεινής με τών δαιμόνωνλυτρουμένη μορφής• του πικροτάτου λογοθεσίου τών τελωνών του αέρος και τώναρχόντων του σκότους εξαίρουσα και τα χειρόγραφα τών πολλών μου αμαρτιώνδιαρρήσσουσα, τω Θεώ με οικείωσον και τής εκ δεξιών αυτού μακαρίας στάσεωςεν τω φοβερώ κριτηρίω καταξίωσον και τών αιωνίων και ακηράτων αγαθώνκληρονόμον με ποίησον. Ταύτην σοι προσάγω τήν εξομολόγησιν, Δέσποινά μουΘεοτόκε, το φώς τών εσκοτισμένων μου οφθαλμών, η παραμυθία τής εμής ψυχής,η μετά Θεόν ελπίς μου και προστασία, ήν ευμενώς πρόσδεξαι και καθάρινόν μεαπό παντός μολυσμού σαρκός και πνεύματος και αξίωσόν με εν τω παρόντι αιώνιακατακρίτως μετασχείν του παναγίου και αχράντου σώματος και αίματος τούΥιού και Θεού σου• εν δε τω μέλλοντι, του γλυκυτάτου και ουρανίου δείπνου τήςτρυφής του Παραδείσου ένθα πάντων εστίν ευφραινομένων η κατοικία. Τούτωνδέ τυχών τών αγαθών ο ανάξιος, δοξάσω εις τούς αιώνας τών αιώνων τόπάντιμον και μεγαλοπρεπές όνομα του Υιού και Θεού σου, του δεχομένου πάνταςτούς εξ όλης μετανοούντας ψυχής, δια σε τήν γενομένην πάντων τών αμαρτωλώνμεσίτριαν και εγγυήτριαν. Δια γάρ σου, Πανύμνητε και υπεράγαθε Δέσποινα,περισώζεται πάσα βροτεία φύσις, αινούσα και ευλογούσα Πατέρα και Υιόν καίΆγιον Πνεύμα, τήν Παναγίαν Τριάδα και Ομοούσιον, πάντοτε, νύν και αεί καιειςτούς αιώνας τών αιώνων. Αμήν.

«Υπεραγία Θεοτόκε σώσόν με»

Πηγή: hristospanagia3.blogspot.gr